δ' τοῦ α' — ἴσαι εἰσίν· ἄλλη γωνία ἡ ὑπὸ ΓΑΒ γωνίᾳ τῇ ὑπὸ ΖΔΕ
ἐστὶν ἴση· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστί· καὶ τὸ
τρίγωνον τῷ τριγώνῳ· καὶ αἱ λοιπαὶ γωνίαι ταῖς
λοιπαῖς γωνίαις· ἴση ἄρα ἡ ὑπὸ ΑΓΒ γωνία τῇ
ὑπὸ ΔΖΕ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΑΓΚ ὀρθῇ τῇ ὑπὸ
ΔΖΝ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΓΚ λοιπῇ τῇ ὑπὸ
ΕΖΝ ἐστὶν ἴση· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΓΒΚ τῇ ὑπὸ
ΖΕΝ ἐστὶν ἴση· δύο δὴ τρίγωνά ἐστι τὰ ΒΓΚ ΕΖΝ τὰς
κς' τοῦ α' — δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν
ἑκατέρᾳ· καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν
πρὸς ταῖς ἴσαις γωνίαις τὴν ΒΓ τῇ ΕΖ· καὶ τὰς λοιπὰς
ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν·
ἴση ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΖΝ· ἔστι δὲ καὶ ἡ ΑΓ τῇ ΔΖ
ἴση· δύο δὴ αἱ ΑΓ ΓΚ δυσὶ ταῖς ΔΖ ΖΝ ἴσαι εἰσὶ καὶ
ὀρθὰς γωνίας περιέχουσιν· βάσις ἄρα ἡ ΑΚ βά-
δ' τοῦ α' — σει τῇ ΔΝ ἴση ἐστίν· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΘ τῇ ΔΜ ἴ-
σον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΘ τῷ ἀπὸ τῆς ΔΜ· ἀλλὰ
τῷ μὲν ἀπὸ τῆς ΑΘ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΚ ΚΘ·
ὀρθὴ γὰρ ἡ ὑπὸ ΑΚΘ· τῷ δὲ ἀπὸ τῆς ΔΜ ἴσα
τὰ ἀπὸ τῶν ΔΝ ΝΜ· ὀρθὴ γὰρ ἡ ὑπὸ ΔΝΜ· τὰ
ἄρα ἀπὸ τῶν ΑΚ ΚΘ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΔΝ ΝΜ·
τῷ ἀπὸ τῆς ΔΝ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΚΘ ἴσον — ὧν, τὸ ἀπὸ τῆς ΑΚ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΝΜ· ἴ-
ση ἄρα ἡ ΘΚ τῇ ΜΝ· καὶ ἐπεὶ δύο αἱ ΘΑ ΑΚ δυσὶ ταῖς
ΜΔ ΔΝ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ
η' τοῦ α' — ΘΚ βάσει τῇ ΜΝ ἐδείχθη ἴση· γωνία ἄρα ἡ ὑπὸ
ΘΑΚ γωνίᾳ τῇ ὑπὸ ΜΔΝ ἐστὶν ἴση· ἐὰν ἄρα ὦσι

δύο γωνίαι ἐπίπεδοι ἴσαι καὶ τὰ ἑξῆς· ὅπερ ἔδει δεῖξαι·
ἐκ δὴ τούτου φανερόν· ὅτι ἐὰν ὦσι δύο γωνίαι ἐπί- — πορ.
πεδοι εὐθύγραμμοι ἴσαι· ἐφεστᾶσι δὲ ἐπ' αὐτῶν
μετέωροι εὐθεῖαι ἴσαι ἴσας γωνίας περιέχουσαι με-
τὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν ἑκατέραν ἑκατέρᾳ· αἱ
ἀπ' αὐτῶν κάθετοι ἀγόμεναι ἐπὶ τὰ ἐπίπεδα ἐν οἷς
εἰσιν αἱ ἐξ ἀρχῆς γωνίαι· ἴσαι ἀλλήλαις εἰσίν:–

λς' — ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν· τὸ ἐκ τῶν τριῶν στε-
ρεὸν παραλληλεπίπεδον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς
μέσης στερεῷ παραλληλεπιπέδῳ ἰσοπλεύρῳ μὲν
ἰσογωνίῳ δὲ τῷ προειρημένῳ· ἔστωσαν τρεῖς
εὐθεῖαι ἀνάλογον αἱ Α Β Γ· ὡς ἡ Α πρὸς τὴν Β, οὕτως
ἡ Β πρὸς τὴν Γ· λέγω ὅτι τὸ ἀπὸ τῶν ΑΒΓ στερεὸν
ἴσον ἐστὶ τῷ ἀπὸ τῆς Β στερεῷ ἰσοπλεύρῳ μὲν ἰσο-
γωνίῳ δὲ τῷ προειρημένῳ· ἐκκείσθω στερεὰ
γωνία ἡ πρὸς τῷ Ε περιεχομένη ὑπὸ τῶν ΔΕΗ — ὑπὸ τριῶν ἐπιπέδων.
ΗΕΖ ΖΕΔ· καὶ κείσθω τῇ μὲν Β ἴση ἑκάστη τῶν ΔΕ ΗΕ
ΕΖ· καὶ συμπεπληρώσθω τὸ ΕΚ στερεὸν παραλληλεπί-



